…s homines firma

…tales preciositates

…etes fortiter.

…us sinus dignu

…se sacris V. Vos

E…cere terrea. E

V…esse polo. V. os

…nis … et aspectui nostris
tribue prevenire subsidium. P. Co
Amen dico vobis quia omnes q. Cplen.
Da qs domine fidelibus populis omnium
sanctorum tuorum semper veneratione
letari. et eorum perpetua supplicatione
muniri. P. Qs omps ds Secr
ut qui celestia alimenta percepimus.
intercedente beato cesario martire tuo.
per hec contra omnia adversa muni-
amur. P. Claudii nycostrati et
Presta qs Col. Clamaverunt iusti
omps ds. ut qui gloriosos
martires tuos claudium nycostratum
symphorianum castorium atque sim
…

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215731-p0002-5

28.

# ΟΜΗΡΟΥ ΛΙΤΑΙ.

Ἰλιάδος ἢ ἰῶτα ῥαψωδίας.

Nobili Eberhardo ab Holle. amico cariss.

Eberhardus ab Holl
Georgio Eccelio.

Georgius Eccelius Petro Fra

ROSTOCHII
Excudebat Stephanus Myliander.
ANNO
∞ IↃ XIVC.

## *Dion Chrysostomus*

ἐν τῷ περὶ λόγου ἀσκήσεως.

Ὅμηρος δὲ καὶ μέσος, καὶ ὕστατος, καὶ πρῶτος, παντὶ παιδὶ, καὶ ἀνδρὶ, καὶ γέροντι, τοσοῦτον ἀφ' αὐτοῦ διδοὺς, ὅσον ἕκαστος δύναται λαβεῖν.

## *Diuus Basilius.*

Πᾶσα μὲν ποίησις τῷ Ὁμήρῳ ἀρετῆς ἐστὶν ἔπαινος, καὶ πάντα αὐτῷ πρὸς τοῦτο φέρει, ὅ,τι μὴ πάρεργον. id est nihil sit otiosum

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ
## ΙΩΤΑ ΡΑΨΩΔΙΑΣ
## τῆς Ὁμήρου Ἰλιάδος.

Ἀγαμέμνονος συμβουλεύσαντος τοῖς Ἕλλησι φεύγειν, ἵστανται τὴν ἐναντίαν ἀποφαινόμενοι γνώμην Διομήδης καὶ Νέστωρ. ¶ Συμβουλεύσαντος δὲ Νέστορος, πρὸς Ἀχιλλέα πέμπονται πρέσβεις, καὶ δεηθεῖσιν αὐτοῖς ἀντεῖπεν Ἀχιλλεύς. οἱ δὲ ἀπαγγέλλουσι καὶ μετὰ ταῦτα εἰς ὕπνον τρέπονται.

### ΑΛΛΩΣ.

Ἐπαυλισαμένων τῶν πολεμίων διὰ τὴν κατὰ τὸν πόλεμον εὐημερίαν παρὰ τῷ ναυστάθμῳ, Ἀγαμέμνων ἀπηλπικὼς τὴν σωτηρίαν, ἐπὶ τῆς ἐκκλησίας ἀποφαινόμενος γνώμην, ἀποφεύγειν ἀποβάντας τῶν νεῶν κελεύει τοὺς Ἕλληνας. Διομήδους δὲ ἀντειπόντος, Νέστωρ παραυτίκα ἀμείβεται τοῦτον. προστίθησι δὲ τὰ λείποντα αὐτοῦ τοῖς λόγοις, φύλακας κελεύων ἐπὶ τὴν τάφρον ἐκπέμπειν, καὶ τοὺς ἀρίστους ἀθροίσαντα βουλεύεσθαι μετ' αὐτῶν περὶ τῶν ἐπειγόντων. πείθεται τούτοις ὁ βασιλεύς, καὶ τοὺς ἀρίστους ἑστιᾷ, ἐν οἷς πάλιν Νέστωρ Ἀγαμέμνονι σύμβουλος τῶν καλλίστων γίγνεται τῆς μὲν πρὸς τὸν Ἀχιλλέα κελεύων αὐτὸν ὀργῆς λαθέσθαι, πρὸς δὲ τὸν ἐπείγοντα καιρὸν ἁρμόσασθαι, καὶ πρεσβείαν ὡς τὸν τοῦ Πηλέως ἀποστεῖλαι.

τοῦ δὲ βασιλέως καὶ δῶρα πολλὰ ὑπισχνουμένου δώσειν, καὶ κηδείαν ἀξιώσαντος γενέσθαι, παραγίνονται πρὸς αὐτὸν πρέσβεις, ὅ, τε Ἰθακήσιος, καὶ ὁ τοῦ Τελαμῶνος, καὶ πρὸς τούτοις Φοῖνιξ. τῶν δὲ πρέσβεων ἐλθόντων, καὶ τὴν δέησιν ποιουμένων, καὶ τὰ κατὰ τοὺς Ἕλληνας μηνυσάντων, καὶ τὴν ἔπειξιν δηλούντων, ἀπηνὴς ὁ Ἀχιλλεὺς, καὶ οὐδ' ὅλως ἐνδιδοὺς πρὸς τὴν ἀκοὴν τῶν Ἑλληνικῶν πραγμάτων εὑρίσκεται· ἀλλὰ μνησικακῶν μὲν τῷ Ἀγαμέμνονι, τῶν δὲ δώρων καταφρονῶν, καὶ τῆς συγγενείας τοῦ βασιλέως ὑπερφρονῶν. καὶ μετὰ τοῦτο Φοῖνιξ πείθειν αὐτὸν πειρᾶται, καὶ δακρύει τὴν παροῦσαν τῶν Ἑλλήνων τύχην, ὡς εἰς ἔλεον αὐτὸν ὑπάξων· καὶ τῆς περὶ τὴν πρώτην ἡλικίαν ὑπομιμνήσκει τροφῆς, καὶ ὅτι οὐ χρὴ, παραδείγματι τῷ κατὰ τὴν παλλακίδα χρώμενος, πάντα μητρὶ πείθεσθαι, δι' ὧν εἶπεν αἰνίττεται· καὶ ὡς πρὸς ἀνάγκην βοηθήσας χωρὶς τιμῆς μεταγνώσεται, τὴν Μελεάγρου μάχην καὶ Αἰτωλῶν διηγούμενος. Οὔτε δὲ Φοῖνιξ πρεσβευτὴς εὐτυχής. καὶ γὰρ καὶ αὐτὸς ἐπίσης τοῖς ἄλλοις ἀποτυγχάνει. οὔτε δὴ ὁ συγγενὴς αὐτὸν Αἴας ἔτρεψεν, ἐπιπλήσσων τε καὶ ἱκετεύων, καὶ λοιδορούμενος, καὶ παντὶ τρόπῳ πεῖσαι πειρώμενος. ἀλλὰ Φοίνικα μὲν παρ' ἑαυτῷ κατέχει Ἀχιλλεύς. Ὀδυσσεὺς δὲ σὺν Αἴαντι τὰ πρὸς τοῦ Ἀχιλλέως ἀποπρεσβεύεται τοῖς Ἕλλησιν· ἐφ' οἷς Διομήδης καταπλήττεται μὲν Ἀχιλλέως, ὡς οὐ δεόντως ἀμέτρῳ ὀργῇ χολάζοντος, τοὺς δὲ ἀρίστους ἐπὶ τὴν μάχην προτρέπεται.

## ΑΛΛΗ ΥΠΟΘΕΣΙΣ, Η ΕΠΙΓΡΑΦΗ

Ἐξεσίη δ' Ἀχιλῆος ἀπειθέος ἐστὶν ἰῶτα.

## ΑΛΛΗ.

Λίται.

ΤΗΣ

## ΤΗΣ ΟΜΗΡΟΥ ΙΛΙΑΔΟΣ
### ἡ ἰῶτα ῥαψῳδία.

Ως οἱ μὲν Τρῶες φυλακὰς ἔχον· αὐτὰρ Αχαιοὺς
Θεσπεσίη ἔχε φύζα, φόβου κρυόεντος ἑταίρη·
Πένθεϊ δ᾽ ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι.
Ως δ᾽ ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα,
Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον
Ελθόντ᾽ ἐξαπίνης· ἄμυδις δέ τε κῦμα κελαινὸν
Κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκος ἔχευαν·
Ως ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσιν Αχαιῶν.
Ατρεΐδης δ᾽ ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ,
Φοίτα κηρύκεσσι λιγυφθόγγοισι κελεύων
Κλήδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον,
Μηδὲ βοᾶν· αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο.
Ἷζον δ᾽ εἰν ἀγορῇ τετιηότες. ἂν δ᾽ Αγαμέμνων
Ἵστατο δακρυχέων, ὥστε κρήνη μελάνυδρος,
Ηˊτε κατ᾽ αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ·
Ως ὁ βαρυστενάχων ἔπε᾽ Αργείοισι μετηύδα,
Ω φίλοι Αργείων ἡγήτορες ἠδὲ μέδοντες,
Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ
Σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν,
Ιλιον ἐκπέρσαντ᾽ εὐτείχεον ἀπονέεσθαι
Νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει

inglorium Δυσκλέα Αργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
Οὕτω που Διῒ μέλλει ὑπερμενέϊ φίλον εἶναι, sic deo visum fuit
Ος δὴ πολλάων πολίων κατέλυσε κάρηνα,
Ηδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.
Αλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες,
renavigemus Φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.
Οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν.
Ως ἔφαθ'. οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Δὴν δ' ἄνεῳ ἦσαν τετιηότες υἷες Αχαιῶν·
Οψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης, praestans bellator
Ατρείδη, σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι,
Η θέμις ἐστὶν ἄναξ, ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.
Αλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσι,
Φὰς ἔμεν ἀπτόλεμον, καὶ ἀνάλκιδα· ταῦτα δὲ πάντα
Ισασ' Αργείων ἠμὲν νέοι ἠδὲ γέροντες·
Σοὶ δὲ διάνδιχα δῶκε Κρόνου παῖς ἀγκυλομήτεω.
Σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων·
Αλκὴν δ' οὔτοι δῶκεν, ὅ,τε κράτος ἐστὶ μέγιστον.
Δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Αχαιῶν
Απτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;
Εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται ὥστε νέεσθαι,
Ερχεο· πάρ τοι ὁδὸς, νῆες δέ τοι ἄγχι θαλάσσης
Εστᾶσ', αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί·
Αλλ' ἄλλοι μενέουσι καρηκομόωντες Αχαιοὶ
Εἰσόκε περ Τροίην διαπέρσομεν. εἰ δὲ καὶ αὐτοὶ
Φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,

Νῶϊ δ', ἐγὼ Σθένελός τε, μαχησόμεθ' εἰσόκε τέκμωρ
Ἰλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν.
Ὡς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν,
Μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
Τοῖσι δ' ἀνιστάμενος μετεφώνεεν ἱππότα Νέστωρ,
Τυδείδη, πέρι μὲν πολέμῳ ἔνι καρτερός ἐσσι,
Καὶ βουλῇ μετὰ πάντας ὁμήλικας ἔπλευ ἄριστος.
Οὔτις τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοὶ,
Οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.
Ἦ μὴν καὶ νέος ἐσσὶ, ἐμὸς δέ κε καὶ πάϊς εἴης
Ὁπλότερος γενεῆφιν, ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔειπες.
Ἀλλ', ἄγ' ἐγὼν, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
Ἐξείπω, καὶ πάντα διίξομαι· οὐδέ κε τίς μοι
Μῦθον ἀτιμήσει, οὐδὲ κρείων Ἀγαμέμνων.
Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος
Ὃς πολέμου ἔραται ἐπιδημίου, ὀκρυόεντος.
Ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,
Δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι
Λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.
Κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι, αὐτὰρ ἔπειτα
Ἀτρείδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατός ἐσσι.
Δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὔτοι ἀεικές,
Πλεῖαί τοι οἴνου κλισίαι, τὸν νῆες Ἀχαιῶν
Ἠμάτιαι Θρήκηθεν ἐπ' εὐρέα πόντον ἄγουσι·
Πᾶσά τοι ἔσθ' ὑποδεξίη, πολέεσσι δ' ἀνάσσεις.

Πολλῶν

Πολλῶν δ' ἀγρομένων, τῷ πείσεαι ὅς κεν ἀρίστην
Βουλὴν βουλεύσῃ· μάλα δὲ χρεὼ πάντας Αχαιοὺς
Εσθλῆς καὶ πυκινῆς, ὅτι δήϊοι ἐγγύθι νηῶν
Καίουσι πυρὰ πολλά· τίς ἂν τάδε γηθήσειε;
Νὺξ δ' ἥδ' ἠὲ διαῤῥαίσει στρατὸν ἠὲ σαώσει.
Ως ἔφατ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Εκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσσεύοντο,
Αμφί τε Νεστορίδην Θρασυμήδεα ποιμένα λαῶν,
Ηδ' ἀμφ' Ασκάλαφον, καὶ Ιάλμενον, υἷας Αρηος,
Αμφί τε Μηριόνην, Αφαρῆά τε, Δηΐπυρόν τε,
Ηδ' ἀμφὶ Κρείοντος υἱὸν Λυκομηδέα δῖον.
Επτ' ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ἑκάστῳ
Κοῦροι ἅμ' ἔστειχον, δολίχ' ἔγχεα χερσὶν ἔχοντες·
Καδδὲ μέσον τάφρου καὶ τείχεος ἷζον ἰόντες.
Ενθα δὲ πῦρ κήαντο, τίθεντο δὲ δόρπον ἕκαστος.
Ατρείδης δὲ γέροντας ἀολλέας ἦγεν Αχαιῶν
Ες κλισίην, παρὰ δέ σφι τίθει μενοεικέα δαῖτα·
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Τοῖς ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή,
Ο σφιν ἐϋφρονέων ἀγορήσατο, καὶ μετέειπεν,
Ατρείδη κύδιστε ἄναξ ἀνδρῶν Αγάμεμνον,
Εν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι, οὕνεκα πολλῶν
Λαῶν ἐσσὶ ἄναξ, καί τοι Ζεὺς ἐγγυάλιξε
Σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύησθα.

τῷ σε

Τῶ σε χρὴ πέρι μὲν φάσθαι ἔπος, ἠδ' ἐπακοῦσαι,
Κρηῆναι δὲ καὶ ἄλλῳ, ὅταν τινὰ θυμὸς ἀνώγῃ
Εἰπεῖν εἰς ἀγαθόν· σέο δ' ἕξεται, ὅ,τι κεν ἄρχῃ·
Αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
Οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει
Οἷον ἐγὼ νοέω ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν,
Ἐξέτι τοῦ ὅτε διογενὲς Βρισηΐδα κούρην
Χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας·
Οὔ τι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
Πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
Εἴξας, ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
Ἠτίμησας· ἑλὼν γὰρ ἔχεις γέρας. ἀλλ' ἔτι καὶ νῦν
Φραζώμεσθ' ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν
Δώροισίν τ' ἀγανοῖσιν ἔπεσσί τε μειλιχίοισι.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Ὦ γέρον, οὔ τι ψεῦδος ἐμὰς ἄτας κατέλεξας.
Ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι· ἀντί νυ πολλῶν
Λαῶν ἐστὶν ἀνὴρ ὅν τε Ζεὺς κῆρι φιλήσῃ,
Ὡς νῦν τοῦτον ἔτισε, δάμασσε δὲ λαὸν Ἀχαιῶν.
Ἀλλ' ἐπεὶ ἀασάμην, φρεσὶ λευγαλέῃσι πιθήσας,
Ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα·
Ὑμῖν δ' ἐν πάντεσσι περικλυτὰ δῶρ' ὀνομήνω,
Ἕπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους.
Πηγοὺς, ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.
Οὔ κεν ἀλήϊος εἴη ἀνὴρ ᾧ τόσσα γένοιτο,

Οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,
Ὅσσά μοι ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι.
Δώσω δ' ἑπτὰ γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας,
Λεσβίδας, ἃς ὅτε Λέσβον ἐϋκτιμένην ἕλεν αὐτὸς
Ἐξελόμην, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν
Τὰς μέν οἱ δώσω, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπηύρων
Κούρην Βρισῆος· καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι,
Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι,
Ἣ θέμις ἀνθρώπων πέλει ἀνδρῶν ἠδὲ γυναικῶν.
Ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
Ἄστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
Νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω,
Εἰσελθὼν, ὅτε κεν δατεώμεθ' ληΐδ' Ἀχαιοί.
Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθω,
Αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν.
Εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαϊκὸν, οὖθαρ ἀρούρης,
Γαμβρός κέν μοι ἔοι· τίσω δέ μιν ἶσον Ὀρέστῃ,
Ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ.
Τρεῖς δέ μοι εἰσὶ θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυσόθεμις, καὶ Λαοδίκη, καὶ Ἰφιάνασσα,
Τάων ἥν κ' ἐθέλῃσι φίλην ἀνάεδνον ἀγέσθω
Πρὸς οἶκον Πηλῆος· ἐγὼ δ' ἐπιμείλια δώσω
Πολλὰ μάλ', ὅσσ' οὔπω τις ἑῇ ἐπέδωκε θυγατρί.
ἑπτὰ δέ οἱ δώσω εὐναιόμενα πτολίεθρα,
Καρδαμύλην, Ἐνόπην τε, καὶ Ἱρὴν ποιήεσσαν,
Φηράς τε ζαθέας, ἠδ' Ἄνθειαν βαθύλειμον,

Καλὴν τ' Αἴπειαν, καὶ Πήδασον ἀμπελόεσσαν.
Πᾶσαι δ' ἐγγὺς ἁλὸς νέαται Πύλου ἠμαθόεντος·
Εν δ' ἄνδρες ναίουσι πολύρρηνες, πολυβοῦται,
Οἵ κέ ἑ δωτίνῃσι θεὸν ὣς τιμήσουσιν,
Καί οἱ ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας.
Ταῦτά κέ οἱ τελέσαιμι μεταλήξαντι χόλοιο.
Δμηθήτω· ἀΐδης τοι ἀμείλιχος, ἠδ' ἀδάμαστος·
Τοὔνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων·
Καί μοι ὑποστήτω ὅσον βασιλεύτερός εἰμι,
Ηδ' ὅσον γενεῇ προγενέστερος εὔχομαι εἶναι·
Τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ,
Ατρείδη κύδιστε ἄναξ ἀνδρῶν Αγάμεμνον
Δῶρα μὲν οὐκ ἔτ' ὀνοστὰ διδοῖς Αχιλῆϊ ἄνακτι·
Αλλ' ἄγετε κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιστα
Ελθωσ' ἐς κλισίην Πηληϊάδεω Αχιλῆος.
Εἰ δ' ἄγε τοὺς ἂν ἐγὼν ἐπιόψομαι, οἱ δὲ πιθέσθων.
Φοῖνιξ μὲν πρώτιστα Διῒ φίλος ἡγησάσθω,
Αὐτὰρ ἔπειτ' Αἴας τε μέγας, καὶ δῖος Οδυσσεύς·
Κηρύκων δ' Οδίος τε καὶ Εὐρυβάτης ἅμ' ἑπέσθων.
Φέρτε δὲ χερσὶν ὕδωρ, εὐφημῆσαί τε κέλεσθε,
Οφρα Διῒ Κρονίδῃ ἀρησόμεθ', αἴκ' ἐλεήσῃ.
Ως φάτο· τοῖσι δὲ πᾶσιν ἑαδότα μῦθον ἔειπεν.
Αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
Κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο·
Νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
Αὐτὰρ ἐπεὶ σπείσαντ', ἔπιόνθ' ὅσον ἤθελε θυμός,

Ὡρμῶντ' ἐκ κλισίης Ἀγαμέμνονος Ἀτρείδαο.
Τοῖσι δὲ πόλλ' ἐπέτελλε Γερήνιος ἱππότα Νέστωρ,
Δενδίλλων ἐς ἕκαστον, Ὀδυσσῆϊ δὲ μάλιστα
Πειρᾶν ὡς πεπίθοιεν ἀμύμονα Πηλείωνα.
Τὼ δὲ βάτην παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
Πόλλα μάλ' εὐχομένω γαιηόχῳ ἐννοσιγαίῳ,
Ῥηϊδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο.
Μυρμιδόνων δ' ἐπί τε κλισίας, καὶ νῆας ἱκέσθην·
Τὸν δ' εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ,
Καλῇ δαιδαλέῃ, (ἐπὶ δ' ἀργύρεος ζυγὸς ἦεν)
Τὴν ἄρετ' ἐξ ἐνάρων, πόλιν Ἠετίωνος ὀλέσσας·
Τῇ ὅγε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν.
Πάτροκλος δέ οἱ οἶος ἐναντίος ἧστο σιωπῇ,
Δέγμενος Αἰακίδην ὁπότε λήξειεν ἀείδων.
Τὼ δὲ βάτην προτέρω, ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς·
Στὰν δὲ πρόσθ' αὐτοῖο· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς,
Αὐτῇ σὺν φόρμιγγι, λιπὼν ἕδος ἔνθα θάασσεν.
Ὡς δ' αὔτως Πάτροκλος, ἐπεὶ ἴδε φῶτας, ἀνέστη·
Τὼ καὶ δεικνύμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς,
Χαίρετον, ἦ φίλοι ἄνδρες ἱκάνετον, ἦ τι μάλα χρεώ,
Οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον.
Ὡς ἄρα φωνήσας προτέρω ἄγε δῖος Ἀχιλλεύς.
Εἷσεν δ' ἐν κλισμοῖσι, τάπησί τε πορφυρέοισιν·
Αἶψα δὲ Πάτροκλον προσεφώνεεν ἐγγὺς ἐόντα,
Μείζονα δὴ κρητῆρα Μενοιτίου υἱὲ καθίστα,
Ζωρότερον δὲ κέραιρε, δέπας δ' ἔντυνον ἑκάστῳ.

Οἱ δ'

Οἱ γάρ μοι φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ.
Ὡς φάτο. Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ.
Αὐτὰρ ὅγε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ,
Ἐν δ' ἄρα νῶτον ἔθηκ' ὄϊος καὶ πίονος αἰγός,
Ἐν δὲ συὸς συάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ,
Τῷ δ' ἔχεν Αὐτομέδων, τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς.
Καὶ τὰ μὲν εὖ μίστυλλε, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρε·
Πῦρ δὲ Μενοιτιάδης δαῖεν μέγα ἰσόθεος φώς.
Αὐτὰρ ἐπεὶ καὶ πῦρ ἐκάη, καὶ φλὸξ ἐμαράνθη,
Ἀνθρακιὴν στορέσας, ὀβελοὺς ἐφύπερθε τάνυσε·
Πάσσε δ' ἁλὸς θείοιο, κρατευτάων ἐπαείρας.
Αὐτὰρ ἐπεί ῥ' ὤπτησε, καὶ εἰν ἐλέοισιν ἔχευε,
Πάτροκλος μὲν σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
Καλοῖς ἐν κυανέοισιν. ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
Αὐτὸς δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,
Τοίχου τοῦ ἑτέροιο· θεοῖσι δὲ θῦσαι ἀνώγει
Πάτροκλον ὃν ἑταῖρον· ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Νεῦσ' Αἴας Φοίνικι· νόησε δὲ θεῖος Ὀδυσσεύς.
Πλησάμενος δ' οἴνοιο δέπας, δείδεκτ' Ἀχιλῆα,
Χαῖρ' Ἀχιλεῦ, δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς,
Ἠ μὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος Ἀτρείδαο,
Ἠδὲ καὶ ἐνθάδε νῦν· πάρα γὰρ μενοεικέα πολλὰ
Δαίνυσθ'. ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν·
Ἀλλὰ λίην μέγα πῆμα, διοτρεφὲς, εἰσορόωντες,

Δείδιμεν· ἐν δοιῇ δὲ σαωσέμεν ἢ ἀπολέσθαι
Νῆας ἐϋσσέλμους, εἰ μὴ σύ γε δύσεαι ἀλκήν.
Ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο
Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι,
Κηάμενοι πυρὰ πολλὰ κατὰ στρατὸν, οὐδ' ἔτι φασὶν
Σχήσεσθ', ἀλλ' ἐνὶ νηυσὶ μελαίνῃσι πεσέεσθαι.
Ζεὺς δέ σφιν Κρονίδης ἐνδέξια σήματα φαίνων
Ἀστράπτει· Ἕκτωρ δὲ μέγα σθένεϊ βλεμεαίνων;
Μαίνεται ἐκπάγλως, πίσυνος Διΐ, οὐδέ τι τίει
Ἀνέρας οὐδὲ θεούς· κρατερὴ δέ ἑ λύσσα δέδυκεν.
Ἀρᾶται δὲ τάχιστα φανήμεναι ἠῶ δῖαν·
Στεῦται γὰρ νηῶν ἀποκόψειν ἄκρα κόρυμβα,
Αὐτάς τ' ἐμπρήσειν μαλεροῦ πυρὸς· αὐτὰρ Ἀχαιούς
Δῃώσειν παρὰ τῇσιν ἀτυζομένους ὑπὸ καπνοῦ.
Ταῦτ' αἰνῶς δείδοικα κατὰ φρένα, μή οἱ ἀπειλὰς
Ἐκτελέσωσι θεοί· ἡμῖν δὲ δὴ αἴσιμον εἴη
Φθίσθαι ἐνὶ Τροίῃ ἑκὰς Ἄργεος ἱπποβότοιο.
Ἀλλ' ἄνα, εἰ μέμονάς γε καὶ ὀψέ περ υἷας Ἀχαιῶν
Τειρομένους ἐρύεσθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ.
Αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, οὐδέ τι μῆχος
Ῥεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖν· ἀλλὰ πολὺ πρὶν
Φράζευ, ὅπως Δαναοῖσιν ἀλεξήσεις κακὸν ἦμαρ.
Ὦ πέπον, ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεὺς
Ἤματι τῷ, ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε,
Τέκνον ἐμὸν, κάρτος μὲν Ἀθηναίη τε καὶ Ἥρη
Δώσουσ' αἴ κ' ἐθέλωσι· σὺ δὲ μεγαλήτορα θυμὸν

Ισχειν ἐν στήθεσι· φιλοφροσύνη γὰρ ἀμείνων.
Ληγέμεναι δ' ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον
Τίωσ' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
Ως ἐπέτελλ' ὁ γέρων· σὺ δὲ λήθεαι· ἀλλ' ἔτι καὶ νῦν
Παῦε, ἔα δὲ χόλον θυμαλγέα. σοὶ δ' Αγαμέμνων
Αξια δῶρα δίδωσι μεταλλήξαντι χόλοιο.
Εἰ δ', σὺ μέν μευ ἄκουσον, ἐγὼ δέ κέ τοι καταλέξω,
Οσσά τοι ἐν κλισίῃσιν ὑπέσχετο δῶρ' Αγαμέμνων·
Επτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα,
Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους.
Πηγοὺς, ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο,
Οὔ κεν ἀλήϊος εἴη ἀνὴρ ᾧ τόσσα γένοιτο,
(Οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο)
Οσσ' Αγαμέμνονος ἵπποι ἀέθλια ποσσὶν ἄροντο.
Δώσει δ' ἑπτὰ γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας,
Λεσβίδας, ἃς, ὅτε Λέσβον ἐϋκτιμένην ἕλες αὐτὸς,
Εξέλεθ', αἳ τότε κάλλει ἐνίκων φῦλα γυναικῶν.
Τὰς μέν τοι δώσει, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπηύρα
Κούρην Βρισῆος· καὶ ἐπὶ μέγαν ὅρκον ὀμεῖται
Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι, ἠδὲ μιγῆναι,
Ἡ θέμις ἐστὶν ἄναξ, ἤτ' ἀνδρῶν, ἤτε γυναικῶν.
Ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε
Αστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι
Νῆας ἅλις χρυσοῦ καὶ χαλκοῦ νηήσασθαι,
Εἰσελθὼν, ὅτε κεν δατεώμεθα ληΐδ' Αχαιοί.
Τρωϊάδας τε γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθαι,

Αἴ κε

Αἴ κε μετ᾽ Αργείην Ελένην κάλλισται ἔασιν.
Εἰ δέ κεν Αργος ἱκοίμεθ᾽ Αχαϊκὸν, οὖθαρ ἀρούρης,
Γαμβρός κέν οἱ ἔοις· τίσει δέ σε ἶσον Ορέστῃ,
Ος οἱ τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ·
Τρεῖς δέ οἱ εἰσὶ θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ,
Χρυσόθεμις, καὶ Λαοδίκη, καὶ Ιφιάνασσα,
Τάων ἥν κ᾽ ἐθέλῃσθα φίλην ἀνάεδνον ἄγεσθαι
Πρὸς οἶκον Πηλῆος· ὁ δ᾽ αὖτ᾽ ἐπιμείλια δώσει
Πολλὰ μάλ᾽, ὅσσ᾽ οὔπω τις ἑῇ ἐπέδωκε θυγατρί.
Επτὰ δέ τοι δώσει εὐναιόμενα πτολίεθρα,
Καρδαμύλην, Ενόπην τε, καὶ Ιρὴν ποιήεσσαν,
Φηράς τε ζαθέας, ἠδ᾽ Ανθειαν βαθύλειμον,
Καλήν τ᾽ Αἴπειαν, καὶ Πήδασον ἀμπελόεσσαν·
Πᾶσαι δ᾽ ἐγγὺς ἁλὸς νέαται Πύλου ἠμαθόεντος·
Εν δ᾽ ἄνδρες ναίουσι πολύῤῥηνες, πολυβοῦται,
Οἵ κέ σε δωτίνῃσι θεὸν ὣς τιμήσουσι,
Καί τοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας.
Ταῦτά κέ τοι τελέσειε μεταλλήξαντι χόλοιο.
Εἰ δέ τοι Ατρείδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον,
Αὐτὸς, καὶ τοῦ δῶρα· σὺ δ᾽ ἄλλους περ Παναχαιοὺς
Τειρομένους ἐλέαιρε κατὰ στρατὸν, οἵ σε θεὸν ὣς
Τίσουσ᾽· ἦ γὰρ καί σφι μάλα μέγα κῦδος ἄροιο.
Νῦν γάρ χ᾽ Εκτορ᾽ ἕλοις, ἐπεὶ ἂν μάλα τοι σχεδὸν ἔλθῃ,
Λύσσαν ἔχων ὀλοήν· ἐπεὶ οὔτινα φησὶν ὁμοῖον
Οἷ ἔμεναι Δαναῶν οὓς ἐνθάδε νῆες ἔνεικαν.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Αχιλλεύς.

Διογε-

Διογενὲς Λαερτιάδη πολυμήχαν' Οδυσσεῦ,
Χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν,
ῌ περ δὴ φρονέω τε, καὶ ὡς τετελεσμένον ἔσται,
Ως μή μοι τρύζητε παρήμενοι ἄλλοθεν ἄλλος.
Εχθρὸς γάρ μοι κεῖνος ὁμῶς Αΐδαο πύλῃσιν
Ος χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσὶν, ἄλλο δὲ βάζει.
Αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
Οὔτέ μέ γ' Ατρεΐδην Αγαμέμνονα πεισέμεν οἴω.
Οὔτ' ἄλλους Δαναοὺς, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
Μάρνασθαι δηΐοισι μετ' ἀνδράσι νωλεμὲς αἰεί·
Ιση μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι·
Εν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός.
Κάτθαν' ὁμῶς ὅ,τ' ἀεργὸς ἀνὴρ, ὅ,τε πολλὰ ἐοργώς·
Οὐδέ τί μοι περίκειται, ἐπεὶ πάθον ἄλγεα θυμῷ,
Αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν.
Ως δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι
Μάστακ' ἐπεί κε λάβῃσι, κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ·
Ως καὶ ἐγὼ πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον,
Ηματα δ' αἱματόεντα διέπρησσον πολεμίζων,
Ανδράσι μαρνάμενος ὀάρων ἕνεκα σφετεράων.
Δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων,
Πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον·
Τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ
Εξελόμην, καὶ πάντα φέρων Αγαμέμνονι δόσκον
Ατρεΐδῃ· ὁ δ' ὄπισθε μένων παρὰ νηυσὶ θοῇσι,
Δεξάμενος διὰ παῦρα δασάσκετο, πολλὰ δ' ἔχεσκε·

Αλλα δ' ἀριστήεσι δίδου γέρα, καὶ βασιλεῦσι·
Τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μούνου Αχαιῶν
Εἵλετ'. ἔχει δ' ἄλοχον θυμαρέα, τῇ παριαύων
Τερπέσθω. τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν
Αργείους; τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας
Ατρείδης; ἢ οὐχ Ελένης ἕνεκ' ἠϋκόμοιο;
Η μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
Ατρεΐδαι; ἐπεὶ ὅστις ἀγαθὸς καὶ ἐχέφρων
Τὴν αὐτοῦ φιλέει καὶ κήδεται, ὡς καὶ ἐγὼ τὴν
Εκ θυμοῦ φίλεον, δουρικτητὴν περ ἐοῦσαν.
Νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο, καὶ μ' ἀπάτησε,
Μή μευ πειράτω εὖ εἰδότος· οὐδέ με πείσει.
Αλλ' Οδυσεῦ, σὺν σοί τε καὶ ἄλλοισιν βασιλεῦσι,
Φραζέσθω νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ.
Η μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο,
Καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ' αὐτῷ
Εὐρεῖαν, μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξεν·
Αλλ' οὐδ' ὡς δύναται σθένος Εκτορος ἀνδροφόνοιο
Ισχειν. ὄφρα δ' ἐγὼ μετ' Αχαιοῖσιν πολέμιζον,
Οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν' Εκτωρ,
Αλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν·
Ενθά ποτ' οἶον ἔμιμνε, μόγις δέ μευ ἔκφυγεν ὁρμήν·
Νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμίζειν Εκτορι δίῳ,
Αὔριον ἱρὰ Διῒ ῥέξας, καὶ πᾶσι θεοῖσι,
Νήσας εὖ νῆας ἐπὴν ἅλαδε προερύσσω,
Οψεαι (ἢν ἐθέλῃσθα, καὶ αἴ κέν τοι τὰ μεμήλῃ)

Ηρ

Ηρι μάλ' Ελλήσποντον ἐπ' ἰχθυόεντα πλεούσας
Νῆας ἐμὰς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας.
Εἰ δέ κεν εὐπλοίην δώῃ κλυτὸς ἐννοσίγαιος,
Ηματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.
Εστι δέ μοι μάλα πολλὰ, τὰ κάλλιπον ἐνθάδε ἔρρων·
Αλλον δ' ἐνθένδε χρυσὸν καὶ χαλκὸν ἐρυθρὸν,
Ηδὲ γυναῖκας ἐϋζώνους, πολιόν τε σίδηρον.
Αξομαι, ἅσσ' ἔλαχόν γε. γέρας δέ μοι ὅσπερ ἔδωκεν,
Αὖτις ἐφυβρίζων ἕλετο κρείων Αγαμέμνων
Ατρείδης· τῷ πάντ' ἀγορευέμεν ὡς ἐπιτέλλω,
Αμφαδόν· ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Αχαιοὶ,
Εἴ τινα που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν,
Αἰὲν ἀναιδείην ἐπιειμένος· οὐδ' ἂν ἔμοιγε
Τετλαίη, κυνεός περ ἐὼν, εἰς ὦπα ἰδέσθαι·
Οὐδέ τι οἱ βουλὰς συμφράσσομαι, οὐδὲ μὲν ἔργον.
Εκ γὰρ δή μ' ἀπάτησε καὶ ἤλιτεν, οὐδ' ἂν ἔτ' αὖτις
Εξαπάφοιτ' ἐπέεσσιν, ἅλις δέ οἱ· ἀλλὰ ἕκηλος
Ερρέτω. ἐκ γάρ οἱ φρένας εἵλετο μητίετα Ζεύς.
Εχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸς αἴσῃ.
Οὐδ' εἴ μοι δεκάκις τε καὶ εἰκοσάκις τόσα δοίη
Οσσα τέ οἱ νῦν ἐστι, καὶ εἴ ποθεν ἄλλα γένοιτο,
Οὐδ' ὅσ' ἐς Ορχομενὸν ποτινίσσεται, οὐδ' ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται,
Αἵ θ' ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστην
Ανέρες ἐξοιχνεῦσι σὺν ἵπποισι καὶ ὄχεσφιν·
Οὐδ' εἴ μοι τόσα δοίη, ὅσα ψάμαθός τε κόνις τε.

Οὐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείσει Ἀγαμέμνων,
Πρίν γ' ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.
Κούρην δ' οὐ γαμέω Ἀγαμέμνονος Ἀτρεΐδαο·
Οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι,
Ἔργα δ' Ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζοι,
Οὐδέ μιν ὣς γαμέω· ὁ δ' Ἀχαιῶν ἄλλον ἑλέσθω
Ὅστις οἷ τ' ἐπέοικε, καὶ ὃς βασιλεύτερός ἐστιν·
Ἢν γὰρ δή με σόωσι θεοὶ, καὶ οἴκαδ' ἵκωμαι,
Πηλεύς θήν μοι ἔπειτα γυναῖκα γαμέσσεται αὐτός.
Πολλαὶ δ' Ἀχαιΐδες εἰσὶν ἀν' Ἑλλάδα τε Φθίην τε,
Κοῦραι ἀριστήων οἵ τε πτολίεθρα ῥύονται,
Τάων ἥν κ' ἐθέλοιμι φίλην ποιήσομ' ἄκοιτιν·
Ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ
Γήμαντι μνηστὴν ἄλοχον, εἰκυῖαν ἄκοιτιν,
Κτήμασι τέρπεσθαι τὰ γέρων ἐκτήσατο Πηλεύς.
Οὐ γὰρ ἐμοὶ ψυχῆς ἀντάξιον, οὐδ' ὅσα φασὶν
Ἴλιον ἐκτῆσθαι εὖ ναιόμενον πτολίεθρον
Τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν·
Οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἔνι πετρηέσσῃ.
Ληϊστοὶ μὲν γάρ τε βόες, καὶ ἴφια μῆλα,
Κτητοὶ δὲ τρίποδές τε καὶ ἵππων ξανθὰ κάρηνα·
Ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστὴ,
Οὔθ' ἑλετὴ, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.
Μήτηρ γάρ τέ με φησὶ θεὰ Θέτις ἀργυρόπεζα
Διχθαδίας κῆρας φερέμεν θανάτοιο τέλοσδε.

Εἰ μὲν

Ει μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι,
Ωλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται·
Ει δέ κεν οἴκαδ' ἵκωμαι φίλην ἐς πατρίδα γαῖαν,
Ωλετό μοι κλέος ἐσθλὸν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
Εσσεται, οὐδέ κε μ' ὦκα τέλος θανάτοιο κιχείη.
Καὶ δ' ἂν τοῖς ἄλλοισιν ἐγὼ παραμυθησαίμην
Οἴκαδ' ἀποπλέειν· ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ιλίου αἰπεινῆς· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺς
Χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
Αλλ' ὑμεῖς μὲν ἰόντες ἀριστήεσσιν Αχαιῶν
Αγγελίην ἀπόφασθε, (τὸ γὰρ γέρας ἐστὶ γερόντων)
Οφρ' ἄλλην φράζωνται ἐνὶ φρεσὶν μῆτιν ἀμείνω,
Η κέ σφιν νῆάς τε σόῃ καὶ λαὸν Αχαιῶν
Νηυσὶν ἐπὶ γλαφυρῇς· ἐπεὶ οὔ σφισιν ἥδε γ' ἑτοίμη,
Ην νῦν ἐφράσσαντο, ἐμεῦ ἀπομηνίσαντος.
Φοῖνιξ δ' αὖθι παρ' ἄμμι μένων κατακοιμηθήτω,
Οφρά μοι ἐν νήεσι φίλην ἐς πατρίδ' ἕπηται
Αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ' οὔτι μιν ἄξω.
Ως ἔφαθ'. οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Μῦθον ἀγασάμενοι· μάλα γὰρ κρατερῶς ἀπέειπεν.
Οψὲ δὲ δὴ μετέειπε γέρων ἱππηλάτα Φοῖνιξ,
Δάκρυ' ἀναπρήσας, (πέρι γὰρ δίε νηυσὶν Αχαιῶν)
Εἰ μὲν δὴ νόστον γε μετὰ φρεσὶ φαίδιμ' Αχιλλεῦ
Βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῇσι
Πῦρ ἐθέλεις ἀΐδηλον· ἐπεὶ χόλος ἔμπεσε θυμῷ·
Πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο φίλον τέκος αὖθι λιποίμην

Οἶος; σοὶ δέ μ' ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺς
Ημασι τῷ ὅτε σ' ἐκ Φθίης Αγαμέμνονι πέμπε
Νήπιον, οὔπω εἰδόθ' ὁμοιΐου πολέμοιο,
Οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσι·
Τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα,
Μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων.
Ως ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκος, οὐκ ἐθέλοιμι
Λείπεσθ', οὐδ' εἰκέν μοι ὑποσταίη θεὸς αὐτὸς,
Γῆρας ἀποξύσας, θήσειν νέον ἡβώοντα,
Οἷον ὅτε πρῶτον λίπον Ελλάδα καλλιγύναικα,
Φεύγων νείκεα πατρὸς Αμύντορος Ορμενίδαο,
Ος μοι παλλακίδος πέρι χώσατο καλλικόμοιο,
Τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ' ἄκοιτιν,
Μητέρ' ἐμήν· ἡ δ' αἰὲν ἐμὲ λισσέσκετο γούνων
Παλλακίδι προμιγῆναι, ἵν' ἐχθήρειε γέροντα·
Τῇ πιθόμην, καὶ ἔρεξα. πατὴρ δ' ἐμὸς αὐτίκ' ὀϊσθεὶς
Πολλὰ κατηρᾶτο, στυγερὰς δ' ἐπεκέκλετ' Εριννῦς
Μήποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱὸν
Εξ ἐμέθεν γεγαῶτα. θεοὶ δ' ἐτέλειον ἐπαρὰς,
Ζεύς τε καταχθόνιος, καὶ ἐπαινὴ Περσεφόνεια.
Ενθ' ἐμοὶ οὐκέτι πάμπαν ἐρητύετ' ἐν φρεσὶ θυμὸς
Πατρὸς χωομένοιο κατὰ μέγαρα στρωφᾶσθαι.
Η μὲν πολλὰ ἔται καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες
Αὐτοῦ λισσόμενοι κατερήτυον ἐν μεγάροισι·
Πολλὰ δὲ ἴφια μῆλα, καὶ εἰλίποδας ἕλικας βοῦς
Εσφαζον, πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ

Εὐό-

Εὐόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
Πολλὸν δ᾽ ἐκ κεράμων μέθυ πίνετο τοῖο γέροντος.
Εἰνάνυχες δέ μοι ἀμφ᾽ αὐτῷ παρὰ νύκτας ἴαυον,
Οἱ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον· οὐδέ ποτ᾽ ἔσβη
Πῦρ, ἕτερον μὲν ὑπ᾽ αἰθούσῃ εὐερκέος αὐλῆς,
Ἄλλο δ᾽ ἐνὶ προδόμῳ, πρόσθεν θαλάμοιο θυράων.
Ἀλλ᾽ ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννὴ,
Καὶ τότ᾽ ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
Ῥήξας ἐξῆλθον, καὶ ὑπέρθορον ἑρκίον αὐλῆς
Ῥεῖα, λαθὼν φύλακάς τ᾽ ἄνδρας δμῳάς τε γυναῖκας·
Φεῦγον ἔπειτ᾽ ἀπάνευθε δι᾽ Ἑλλάδος εὐρυχόροιο,
Φθίην δ᾽ ἐξικόμην ἐριβώλακα μητέρα μήλων,
Ἐς Πηλῆα ἄναχθ᾽. ὁ δέ με πρόφρων ὑπεδέκτο,
Καί με φίλησ᾽, ὡσεί τε πατὴρ ὃν παῖδα φιλήσῃ
Μοῦνον, τηλύγετον, πολλοῖσιν ἐπὶ κτεάτεσσι·
Καὶ μ᾽ ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν·
Ναῖον δ᾽ ἐσχατιὴν Φθίης, Δολόπεσσιν ἀνάσσων·
Καί σε τοσοῦτον ἔθηκα θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ,
Ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεσκες ἅμ᾽ ἄλλῳ·
Οὔτ᾽ ἐς δαῖτ᾽ ἰέναι, οὔτ᾽ ἐν μεγάροισι πάσασθαι·
Πρίν γ᾽ ὅτε δή σ᾽ ἐπ᾽ ἐμοῖσιν ἐγὼ γούνασσι καθίσας,
Ὄψου τ᾽ ἄσαιμι προταμὼν, καὶ οἶνον ἐπισχὼν,
Πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα
Οἴνου ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ·
Ὣς ἐπὶ σοὶ μάλα πόλλ᾽ ἔπαθον, καὶ πόλλ᾽ ἐμόγησα.
Τὰ φρονέων, ὅ μοι οὔτι θεοὶ γόνον ἐξετέλειον

Εξ ἐμεῦ· ἀλλά σε παῖδα θεοῖς ἐπιείκελ' Αχιλλεῦ
Ποιεύμην, ἵνα μοί ποτ' ἀεικέα λοιγὸν ἀμύνῃς.
Αλλ' Αχιλεῦ, δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ
Νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί,
Τῶν περ καὶ μείζων ἀρετὴ, τιμή τε βίη τε.
Καὶ μὲν τοὺς θυέεσι· καὶ εὐχωλῇς ἀγανῇσι,
Λοιβῇ τε κνίσῃ τε παρατρωπῶσ' ἄνθρωποι
Λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ.
Καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
Χωλαί τε ῥυσαί τε, παραβλῶπες τ' ὀφθαλμώ·
Αἵ ῥά γε καὶ μετόπισθ' Ατης ἀλέγουσι κιοῦσαι.
Η δ' Ατη σθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάσας
Πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν
Βλάπτουσ' ἀνθρώπους· αἱ δ' ἐξακέονται ὀπίσσω·
Ος μέν τ' αἰδέσεται κούρας Διὸς ἆσσον ἰούσας,
Τόνδε μέγ' ὤνησαν, καὶ τ' ἔκλυον εὐξαμένοιο·
Ος δὲ κ' ἀνήνηται, καί τε στερεῶς ἀποείπῃ,
Λίσσονται δ' ἄρα ταί γε Δία Κρονίωνα κιοῦσαι,
Τῷ δ' Ατην ἅμ' ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτίσῃ·
Αλλ' Αχιλεῦ πόρε καὶ σὺ Διὸς κούρῃσιν ἕπεσθαι
Τιμὴν, ἥτ' ἄλλων περ ἐπιγνάμπτει φρένας ἐσθλῶν·
Εἰ μὲν γὰρ καὶ δῶρα φέροι, τὰ δ' ὄπισθ' ὀνομάζοι
Ατρεΐδης, ἀλλ' αἰὲν ἐπιζαφελῶς χαλεπαίνοι,
Οὐκ ἂν ἔγωγέ σε μῆνιν ἀπορρίψαντα κελοίμην
Αργείοισιν ἀμυνέμεναι χατέουσί περ ἔμπης·
Νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ διδοῖ, τὰ δ' ὄπισθεν ὑπέστη.

Ανδρας

Ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστους
Κρινάμενος κατὰ λαὸν Ἀχαιϊκὸν, οἵ τε σοὶ αὐτῷ
Φίλτατοι Ἀργείων· τῶν μὴ σύγε μῦθον ἐλέγξῃς,
Μηδὲ πόδας· πρὶν δ᾽ οὔτι νεμεσσητὸν κεχολῶσθαι.
Οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν
Ἡρώων, ὅτε κέν τιν᾽ ἐπιζάφελος χόλος ἵκοι,
Δωρητοί τε πέλοντο, παράῤῥητοί τ᾽ ἐπέεσσι.
Μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔτι νέον γε
Ὡς ἦν· ἐν δ᾽ ὑμῖν ἐρέω πάντεσσι φίλοισι.
Κουρῆτές τ᾽ ἐμάχοντο, καὶ Αἰτωλοὶ μενεχάρμαι
Ἀμφὶ πόλιν Καλυδῶνα, καὶ ἀλλήλους ἐνάριζον·
Αἰτωλοὶ μὲν, ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς·
Κουρῆτες δὲ διαπραθέειν μεμαῶτες Ἄρηϊ.
Καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονος Ἄρτεμις ὦρσε
Χωσαμένη, ὅ οἱ οὔτι θαλύσια γουνῷ ἀλωῆς
Οἰνεὺς ῥέξ᾽, ἄλλοι δὲ θεοὶ δαίνυνθ᾽ ἑκατόμβας,
Οἴῃ δ᾽ οὐκ ἔρρεζε Διὸς κούρῃ μεγάλοιο,
Ἢ λάθετ᾽, ἢ οὐκ ἐνόησεν· ἀάσατο δὲ μέγα θυμῷ.
Ἡ δὲ χολωσαμένη δῖον γένος Ἰοχέαιρα,
Ὦρσεν ἐπὶ χλούνην σῦν, ἄγριον, ἀργιόδοντα,
Ὃς κακὰ πόλλ᾽ ἔρδεσκεν ἔθων Οἰνῆος ἀλωήν·
Πολλὰ δ᾽ ὅγε προθέλυμνα χαμαὶ βάλε δένδρεα μακρὰ
Αὐτῇσιν ῥίζῃσιν, καὶ αὐτοῖς ἄνθεσι μήλων.
Τὸν δ᾽ υἱὸς Οἰνῆος ἀπέκτεινεν Μελέαγρος,
Πολλέων ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρας,
Καὶ κύνας. οὐ μὲν γάρ κ᾽ ἐδάμη παύροισι βροτοῖσι·

Τόσσος ἔην, πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.
Η δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον καὶ ἀϋτὴν
Αμφὶ σύος κεφαλῇ καὶ δέρματι λαχνήεντι,
Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων.
Οφρα μὲν οὖν Μελέαγρος ἀρηΐφιλος πολέμιζε,
Τόφρα δὲ Κουρήτεσσι κακῶς ἦν, οὐδ' ἐδύναντο
Τείχεος ἔκτοσθεν μίμνειν πολέες περ ἐόντες.
Αλλ' ὅτε δὴ Μελέαγρον ἔδυ χόλος (ὅς τε καὶ ἄλλων
Οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων)
Ητοι ὁ μητρὶ φίλῃ Αλθαίῃ χωόμενος κῆρ
Κεῖτο παρὰ μνηστῇ ἀλόχῳ καλῇ Κλεοπάτρῃ,
Κούρῃ Μαρπίσσης καλλισφύρου Εὐηνίνης,
Ιδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν,
Τῶν τότε, καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον
Φοίβου Απόλλωνος, καλλισφύρου εἵνεκα νύμφης.
Τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ
Αλκυόνην καλέεσκον ἐπώνυμον, οὕνεκ' ἄρ' αὐτῆς
Μήτηρ Αλκυόνος πολυπενθέος οἶτον ἔχουσα
Κλαῖ', ὅτε μιν ἑκάεργος ἀνήρπασε Φοῖβος Απόλλων.
Τῇ ὅγε παρκατέλεκτο, χόλον θυμαλγέα πέσσων,
Εξ ἀρέων μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσι
Πολλ' ἀχέουσ' ἠρᾶτο κασιγνήτοιο φόνοιο·
Πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία,
Κικλήσκουσ' Αΐδην, καὶ ἐπαινὴν Περσεφόνειαν,
Πρόχνυ καθιζομένη· δεύοντο δὲ δάκρυσι κόλποι,
Παιδὶ δόμεν θάνατον· τῆς δ' ἠεροφοῖτις Εριννὺς

Εκλυ-

Εκλυεν ἐξ Ερέβεσφιν, ἀμείλιχον ἦτορ ἔχουσα·
Τῶν δὲ τάχ' ἀμφὶ πύλας ὅμαδος καὶ δοῦπος ὀρώρει
Πύργων βαλλομένων· τὸν δ' ἐλίσσοντο γέροντες
Αἰτωλῶν, πέμπον δὲ θεῶν ἱερῆας ἀρίστους
Εξελθεῖν καὶ ἀμῦναι, ὑποσχόμενοι μέγα δῶρον,
Οππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς,
Ενθά μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι
Πεντηκοντόγυον· τὸ μὲν ἥμισυ, οἰνοπέδοιο,
Ημισυ δὲ, ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι.
Πολλὰ δέ μιν λιτάνευε γέρων ἱππηλάτα Οἰνεὺς,
Οὐδοῦ ἐμβεβαὼς ὑψηρεφέος θαλάμοιο,
Σείων κολλητὰς σανίδας, γουνούμενος υἱόν·
Πολλὰ δὲ τόνδε κασίγνηται καὶ πότνια μήτηρ,
Ελίσσονθ'· ὁ δὲ μᾶλλον ἀναίνετο· πολλὰ δ' ἑταῖροι,
Οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν ἁπάντων.
Αλλ' οὐδ' ὧς τοῦ θυμὸν ἐνὶ στήθεσι ἔπειθον (γων
Πρίν γ' ὅτε δὴ θάλαμος πύκα βάλλετο, τοὶ δ' ἐπὶ πύρ-
Βαῖνον Κουρῆτες, καὶ ἐνέπρηθον μέγα ἄστυ·
Καὶ τότε δὴ Μελέαγρον ἐΰζωνος παράκοιτις
Λίσσετ' ὀδυρομένη, καί οἱ κατέλεξεν ἅπαντα
Κήδε', ὅσ' ἀνθρώποισι πέλει τῶν ἄστυ ἁλώῃ·
Ανδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει·
Τέκνα δέ τ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας.
Τοῦ δ' ὠρίνετο θυμὸς ἀκούοντος κακὰ ἔργα.
Βῆ δ' ἰέναι, χροῒ δ' ἔντε' ἐδύσατο παμφανόωντα.
Ως ὁ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ,

Εἶξας ᾧ θυμῷ· τῷ δ' οὐκέτι δῶρ' ἐτέλεσσαν·
Πολλά τε καὶ χαρίεντα· κακὸν δ' ἤμυνε καὶ αὔτως.
Αλλὰ σὺ μή μοι ταῦτα νόει φρεσὶ, μηδέ σε δαίμων
Ενταῦθα τρέψειε φίλος· κάκιον δέ κεν εἴη
Νηυσὶν καιομένῃσι ἀμυνέμεν· ἀλλ' ἐπὶ δώροις
Ερχεο· ἶσον γάρ σε θεῷ τίσουσιν Αχαιοί·
Εἰ δέ κ' ἄτερ δώρων πόλεμον φθισήνορα δύῃς,
Οὐκ ἔθ' ὁμῶς τιμῆς ἔσεαι πόλεμόν περ ἀλαλκών.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Αχιλλεύς,
Φοῖνιξ ἄττα γεραιὲ, διοτρεφὲς, οὔτι με ταύτης
Χρεὼ τιμῆς· φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ,
Η μ' ἕξει παρὰ νηυσὶ κορωνίσιν, εἰσόκ' ἀϋτμὴ
Εν στήθεσσι μένῃ, καί μοι φίλα γούνατ' ὀρώρῃ.
Αλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ατρείδῃ ἡρωϊ φέρων χάριν· οὐδέ τι σε χρὴ
Τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι·
Καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν ὅς κε με κήδῃ.
Ισον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.
Οὗτοι δ' ἀγγελέουσι, σὺ δ' αὐτόθι λέξεο μίμνων
Εὐνῇ ἐνὶ μαλακῇ, ἅμα δ' ἠοῖ φαινομένηφι
Φρασσόμεθ' ἤκε νεώμεθ' ἐφ' ἡμέτερ', ἤ κε μένωμεν.
Η̃, καὶ Πατρόκλῳ ὅγ' ἐπ' ὀφρύσι νεῦσε σιωπῇ
Φοίνικι στορέσαι πυκινὸν λέχος, ὄφρα τάχιστα
Εκ κλισίης νόστοιο μεδοίατο. τοῖσι δ' ἄρ' Αἴας
Αντίθεος Τελαμωνιάδης κατὰ μῦθον ἔειπε,

Διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Ἴομεν· οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
Τῇδέ γ᾽ ὁδῷ κρανέεσθαι, ἀπαγγεῖλαι δὲ τάχιστα
Χρὴ μῦθον Δαναοῖσι, καὶ οὐκ ἀγαθόν περ ἐόντα,
Οἵ που νῦν ἕαται ποτιδέγμενοι· αὐτὰρ Ἀχιλλεὺς
Ἄγριον ἐν στήθεσσι θέτο μεγαλήτορα θυμὸν,
Σχέτλιος, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων,
Τῆς, ᾗ μιν παρὰ νηυσὶν ἐπίομεν ἔξοχον ἄλλων·
Νηλὴς, καὶ μέν τίς τε κασιγνήτοιο φόνοιο
Ποινὴν, ἢ οὗ παιδὸς ἐδέξατο τεθνειῶτος·
Καί ῥ᾽ ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ᾽ ἀποτίσας,
Τοῦ δέ τ᾽ ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ,
Ποινὴν δεξαμένου· σοὶ δ᾽ ἄλληκτόν τε κακόν τε
Θυμὸν ἐνὶ στήθεσσι θεοὶ θέσαν, εἵνεκα κούρης
Οἴης· νῦν δέ τοι ἑπτὰ παρείχομεν ἔξοχ᾽ ἀρίστας,
Ἄλλά τε πόλλ᾽ ἐπὶ τῇσι. σὺ δ᾽ ἵλαον ἔνθεο θυμὸν,
Αἴδεσσαι δὲ μέλαθρον· ὑπωρόφιοι δέ τοι εἰμὲν
Πληθύος ἐκ Δαναῶν, μέμαμεν δέ τοι ἔξοχον ἄλλων
Κήδιστοί τ᾽ ἔμεναι καὶ φίλτατοι, ὅσσοι Ἀχαιῶν.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεὺς,
Αἶαν Διογενὲς Τελαμώνιε, κοίρανε λαῶν,
Πάντα τί μοι κατὰ θυμὸν ἐείσαο μυθήσασθαι.
Ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ ὁππότ᾽ ἐκείνου
Μνήσομαι, ὥς μ᾽ ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν
Ἀτρείδης, ὡσεί τιν᾽ ἀτίμητον μετανάστην·
Ἀλλ᾽ ὑμεῖς ἔρχεσθε, καὶ ἀγγελίην ἀπόφασθε·

Οὐ γὰρ πρὶν πολέμοιο μεδήσεσθαι αἱματόεντος,
Πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι
Κτείνοντ' Ἀργείους, κατά τε σμῦξαι πυρὶ νῆας·
Ἀμφὶ δέ τοι τῇ 'μῇ κλισίῃ, καὶ νηῒ μελαίνῃ
Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω.
Ὣς ἔφαθ'. οἱ δὲ ἕκαστος ἑλὼν δέπας ἀμφικύπελλον,
Σπείσαντες, παρὰ νῆας ἴσαν πάλιν· ἦρχε δ' Ὀδυσσεύς.
Πάτροκλος δ' ἑτάροισιν ἰδὲ δμωῇσι κέλευσε
Φοίνικι στορέσαι πυκινὸν λέχος ὅττι τάχιστα.
Αἱ δ' ἐπιπειθόμεναι στόρεσαν λέχος ὡς ἐκέλευσε,
Κώεά τε, ῥῆγός τε, λίνοιό τε λεπτὸν ἄωτον.
Ἔνθ' ὁ γέρων κατέλεκτο, καὶ ἠῶ δῖαν ἔμιμνεν.
Αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου·
Τῷ δ' ἄρα παρκατέλεκτο γυνὴ τὴν Λεσβόθεν ἦγε,
Φόρβαντος θυγάτηρ Διομήδη καλλιπάρῃος.
Πάτροκλος δ' ἑτέρωθεν ἐλέξατο· πὰρ δ' ἄρα καὶ τῷ
Ἶφις ἐΰζωνος, τήν οἱ πόρε δῖος Ἀχιλλεὺς,
Σκῦρον ἑλὼν αἰπεῖαν Ἐνυῆος πτολίεθρον.
Οἱ δ' ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρείδαο γένοντο,
Τοὺς μὲν ἄρα χρυσέοισι κυπέλλοις υἷες Ἀχαιῶν
Δειδέχατ' ἄλλοθεν ἄλλος ἀνασταδὸν, ἔκ τ' ἐρέοντο·
Πρῶτος δ' ἐξερέεινεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Εἴπ' ἄγε μ' ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
Ἢ ῥ' ἐθέλει νήεσσιν ἀμυνέμεναι δήϊον πῦρ,
Ἢ ἀπέειπε, χόλος δέ τ' ἔχει μεγαλήτορα θυμόν;

Τὸν

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215731-p0032-2

Τὸν δ' αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς,
Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Κεῖνός γ' οὐκ ἐθέλει σβέσσαι χόλον, ἀλλ' ἔτι μᾶλλον
Πιμπλάνεται μένεος· σὲ δ' ἀναίνεται ἠδὲ σὰ δῶρα·
Αὐτόν σε φράζεσθαι ἄμ' Ἀργείοισιν ἄνωγεν,
Ὅππως κεν νῆάς τε σάοις καὶ λαὸν Ἀχαιῶν·
Αὐτὸς δ' ἠπείλησεν ἅμ' ἠοῖ φαινομένηφι
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας·
Καὶ δ' αὖ τοῖς ἄλλοισιν ἔφη παραμυθήσασθαι
Οἴκαδ' ἀποπλείειν· ἐπεὶ οὐκέτι δήετε τέκμωρ
Ἰλίου αἰπεινῆς· μάλα γάρ ἑθεν εὐρύοπα Ζεὺς
Χεῖρα ἑὴν ὑπερέσχε, τεθαρσήκασι δὲ λαοί.
Ὣς ἔφατ'. εἰσὶ καὶ οἵδε τάδ' εἰπέμεν, οἵ μοι ἕποντο,
Αἴας, καὶ κήρυκε δύω, πεπνυμένω ἄμφω·
Φοῖνιξ δ' αὖθ' ὁ γέρων κατελέξατο· ὣς γὰρ ἀνώγει,
Ὄφρα οἱ ἐν νήεσσι φίλην ἐς πατρίδ' ἕπηται
Αὔριον, ἢν ἐθέλῃσιν· ἀνάγκῃ δ' οὔτι μιν ἄξει·
Ὣς ἔφαθ'. οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσε·
Δὴν δ' ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν·
Ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης.
Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα,
Μυρία δῶρα διδούς· ὁ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλως,
Νῦν δ' αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃσιν ἐνῆκας.
Ἀλλ' ἤτοι κεῖνον μὲν ἐάσομεν. ἤ κεν ἴῃσιν,

Ἤ κε μένῃ· τότε δ' αὖτε μαχήσεται ὁππότε κέν μιν
Θυμὸς ἐνὶ στήθεσιν ἀνώγῃ, καὶ θεὸς ὄρσῃ.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
Νῦν μὲν κοιμήσασθε τεταρπόμενοι φίλον ἦτορ
Σίτου καὶ οἴνοιο· (τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή,)
Αὐτὰρ ἐπεί κε φανῇ καλὴ ῥοδοδάκτυλος ἠώς,
Καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππους
Ὀτρύνων, καὶ δ' αὐτὸς ἐνὶ πρώτοισι μάχεσθαι·
Ὣς ἔφαθ'. οἱ δ' ἄρα πάντες ἐπήνεσαν βασιλῆες,
Μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
Καὶ τότε δὴ σπείσαντες ἔβαν κλισίηνδε ἕκαστος·
Ἔνθα δ' ἐκοιμήσαντο, καὶ ὕπνου δῶρον ἕλοντο.

AB 113 723

ULB Halle 3
002 387 581

TA→a

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-215731-p0035-8

Iuno et prehem-

gratur uerum inde

terra uestimentum.

turbas. offer

Letamini.

ferimus que pro

ta sint honore

salutaria te

unt. Per. Ite secr

ie beati cesarii mar

s meritis benig

sanctificatus tuus non recusat ac-

cepta. et nobis sacramentum redep-

cionis efficiat. P. Of. Posuerunt me.

O celestibus refecti sacramentis. cpl.

tis et gaudiis supplices te domine

deprecamur: ut quorum gloriamur

triumphis protegamur auxiliis. P.

Theodori mr. Gloria et honore.

Deus qui nos beati theo- Col.

dori martiris tui confessione glo-

riosa circumdas et protegis: presta

nobis eius imitatione proficere

et oratione fulciri. P. epl. Stetit

vultus. gra Beatus vir. Ewn.

ΟΜΗΡΟΥ

# ΛΙΤΑΙ.

Ἰλιάδος ἡ ἰῶτα ῥαψῳδία.

*Nobili Eberhardo ab Holle amico cariss.*

*Eberhardus ab Holl[e] Georgio Ecclio.*

*Georgius Ecclio Petro Fra[…]*

ROSTOCHII

Excudebat Stephanus Myliander.

ANNO

ꝏ IↃ XIVC.